Ακαδημία Αθηνών / Academy of Athens

**μέγιστος 1.** Μέγιστος/πολὺ μεγάλος, greatest/very large, Ξενοφάνης 23.1 *εἷς θεός, ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μ έ γ ι σ τ ο ς, οὔτι δέμας θνητοῖσιν ὁμοίιος οὐδὲ νόημα* Ἐμπεδοκλῆς 128.9 *ταύρων δ' ἀκρήτοισι φόνοις οὐ δεύετο βωμός, ἀλλὰ μύσος τοῦτ' ἔσκεν ἐν ἀνθρώποισι μ έ γ ι σ τ ο ν, θυμὸν ἀπορραίσαντας ἐ⟨ν⟩έδμεναι ἠέα γυῖα* 133.2 *οὐκ ἔστιν πελάσασθαι ἐν ὀφθαλμοῖσιν ἐφικτὸν ἡμετέροις ἢ χερσὶ λαβεῖν, ᾗπέρ τε μ ε γ ί σ τ η πειθοῦς ἀνθρώποισιν ἁμαξιτὸς εἰς φρένα πίπτει* Δημόκριτος 252.5 *πόλις γὰρ εὖ ἀγομένη μ ε γ ί σ τ η ὄρθωσίς ἐστι, καὶ ἐν τούτῳ πάντα ἔνι, καὶ τούτου σῳζομένου πάντα σῴζεται καὶ τούτου διαφθειρομένου τὰ πάντα διαφθείρεται* 263 *δίκης καὶ ἀρετῆς μ ε γ ί σ τ η ν μετέχει μοῖραν ὁ [τιμὰς] ἀξίας τὰς μ ε γ ί σ τ α ς τάμνων ⟨τοῖς ἀξιωτάτοις⟩ (?).* || Ἀναξαγόρας 1.6 *πάντα γὰρ ἀήρ τε καὶ αἰθὴρ κατεῖχεν, ἀμφότερα ἄπειρα ἐόντα· ταῦτα γὰρ μ έ γ ι σ τ α ἔνεστιν ἐν τοῖς σύμπασι καὶ πλήθει καὶ μεγέθει* Διογένης 6.2-8-19 *αἱ δὲ φλέβες ἐν τῷ ἀνθρώπῳ ὧδ' ἔχουσιν· εἰσὶ δύο μ έ γ ι σ τ α ι ... ἀπὸ δὲ τούτων καθ' ἅπαν τὸ σῶμα φλέβες διατείνουσιν, ἀπὸ μὲν τῆς δεξιᾶς εἰς τὰ δεξιά, ἀπὸ δὲ τῆς ἀριστερᾶς εἰς τὰ ἀριστερά, μ έ γ ι σ τ α ι μὲν δύο εἰς τὴν καρδίαν περὶ αὐτὴν τὴν νωτιαίαν ἄκανθαν ... αἱ δὲ εἰς τὰ σκέλη τείνουσαι (*sc.* φλέβες) σχίζονται κατὰ τὴν πρόσφυσιν, καὶ διὰ παντὸς τοῦ μηροῦ τείνουσιν. ἡ δὲ μ ε γ ί σ τ η αὐτῶν ὄπισθεν τείνει τοῦ μηροῦ καὶ ἐκφαίνεται παχεῖα.* || Ἀναξαγόρας 12.11 *ἔστι γὰρ λεπτότατόν τε πάντων χρημάτων καὶ καθαρώτατον, καὶ γνώμην γε περὶ παντὸς πᾶσαν ἴσχει καὶ ἰσχύει μ έ γ ι σ τ ο ν* **2.** Μέγιστος/πολὺ σπουδαῖος, greatest/very important, Δημόκριτος 94 *μικραὶ χάριτες ἐν καιρῷ μ έ γ ι σ τ α ι τοῖς λαμβάνουσι* 157 *τήν τε πολιτικὴν τέχνην μ ε γ ί σ τ η ν οὖσαν ἐκδιδάσκεσθαι καὶ τοὺς πόνους διώκειν, ἀφ' ὧν τὰ μεγάλα καὶ λαμπρὰ γίνονται τοῖς ἀνθρώποις* 208 *πατρὸς σωφροσύνη μ έ γ ι σ τ ο ν τέκνοις παράγγελμα.* || Δημόκριτος 154 *μαθητὰς (*sc.* τῶν ζῴων) ἐν τοῖς μ ε γ ί σ τ ο ι ς γεγονότας ἡμᾶς· ἀράχνης ἐν ὑφαντικῇ καὶ ἀκεστικῇ, χελιδόνος ἐν οἰκοδομίᾳ, καὶ τῶν λιγυρῶν, κύκνου καὶ ἀηδόνος, ἐν ᾠδῇ κατὰ μίμησιν* 252.2 *τὰ κατὰ τὴν πόλιν χρεὼν τῶν λοιπῶν μ έ γ ι σ τ α ἡγεῖσθαι, ὅκως ἄξεται εὖ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ